απόλλυται. [ἀλλὰ] ἔστι τις ἀπόκροτος καὶ τραχυτέρα τοῦ δέοντος· ἀλλὰ γεωργηθεῖσα παραυτίκα γενναίους καρποὺς ἐξήνεγκε. ποῖα δὲ δένδρα οὐκ ὀλιγωρηθέντα μὲν στρεβλὰ φύεται καὶ ἄκαρπα καθίσταται, τυχόντα δ' ὀρθῆς παιδαγωγίας ἔγκαρπα γίνεται καὶ τελεσφόρα; ποία δὲ σώματος ἰσχὺς οὐκ ἐξαμβλοῦται καὶ καταφθίνει δι' ἀμέλειαν καὶ τρυφὴν καὶ καχεξίαν; τίς δ' ἀσθενὴς φύσις οὐ τοῖς γυμνασαμένοις καὶ καταθλήσασι πλεῖστον εἰς ἰσχὺν ἐπέδωκε; τίνες δ' ἵπποι καλῶς πωλοδαμνηθέντες οὐκ εὐπειθεῖς ἐγένοντο τοῖς ἀναβάταις; τίνες δ' ἀδάμαστοι
F μείναντες οὐ σκληραύχενες καὶ θυμοειδεῖς ἀπέβησαν; καὶ τί δεῖ τἄλλα θαυμάζειν, ὅπου γε τῶν θηρίων τῶν ἀγριωτάτων ὁρῶμεν πολλὰ καὶ τιθασευόμενα καὶ χειροήθη γινόμενα τοῖς πόνοις; εὖ δὲ καὶ ὁ Θετταλὸς ἐρωτηθεὶς τίνες εἰσὶν οἱ ἠπιώτατοι Θετταλῶν, ἔφη 'οἱ παυόμενοι πολεμεῖν'. καὶ τί δεῖ τὰ πολλὰ λέγειν; καὶ γὰρ τὸ ἦθος ⟨ἔθος⟩ ἐστὶ πολυχρόνιον καὶ
3 τὰς ἠθικὰς ἀρετὰς ἐθικὰς ἄν τις λέγῃ, οὐκ ἄν τι πλημμελεῖν δόξειεν. ἑνὶ δὲ περὶ τούτων ἔτι παραδείγματι χρησάμενος ἀπαλλάξομαι τοῦ [ἔτι] περὶ αὐτῶν μηκύνειν. *Λυκοῦργος* γὰρ ὁ τῶν *Λακεδαιμονίων* νομοθέτης δύο σκύλακας τῶν αὐτῶν γονέων λαβὼν οὐδὲν ὁμοίως ἀλλήλοις ἤγαγεν, ἀλλὰ τὸν μὲν λίχνον ἀπέφηνε καὶ σινάμωρον, τὸν δ' ἐξιχνεύειν καὶ θηρᾶν δυνατόν. εἶτά ποτε τῶν *Λακεδαιμονίων* εἰς ταὐτὸ συνειλεγμένων, 'μεγάλη τοι ῥοπὴ πρὸς ἀρετῆς κτῆσίν ἐστιν, ἄνδρες' ἔφησε '*Λακεδαιμόνιοι*, καὶ ἔθη καὶ παιδεῖαι καὶ διδασκαλίαι καὶ βίων
B ἀγωγαί, καὶ ἐγὼ ταῦτα ὑμῖν αὐτίκα δὴ μάλα ποιήσω φανερά'. εἶτα προσαγαγὼν τοὺς σκύλακας διαφῆκε, καταθεὶς εἰς μέσον λοπάδα καὶ λαγωὸν κατευθὺ τῶν σκυλάκων. καὶ ὁ μὲν ἐπὶ τὸν λαγωὸν ᾖξεν, ὁ δ' ἐπὶ τὴν λοπάδα ὥρμησε. τῶν δὲ *Λακε-*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/10 UNIVERSITÄT LEIPZIG